ἀγορᾶν.] ἐπὶ τῶν ἐξαίφνης γινομένων τουτέστιν εὐημερίας ἐπιφαινομένων, κατὰ θεῖον ἔλεγον. ἐπεὶ καὶ ὁ ἀλλαντοπώλης αἰφνίδιον βουλομένοις, μὴ προσδοκῶσι δὲ ἐπεφάνη αὐτοῖς. ἄλλως. κατὰ θεοῦ πρόνοιαν. τοὺς δὲ ἐξαίφνης φαινομένους, οὕτως ἔλεγον κατὰ θεῖον ὀφθῆναι. ὅ ἐστι κατὰ πρόνοιαν θεοῦ. Ἀνάβαινε σωτὴρ τῇ πόλει.] ἵνα φησὶν ἐκ τῆς A παρόδου ἐπὶ τὸ λόγιον ἀναβῇ. διὰ τί οὖν ἐκ τῆς παρόδου. τοῦτο γὰρ οὐκ ἀναγκαῖον. λεκτέον οὖν ὅτι ἀναβαίνειν ἐλέγετο τὸ ἐπὶ τὸ λόγιον εἰσιέναι. ὃ καὶ πρόσκειται. λέγεται γὰρ καταβαίνειν, τὸ ἀπαλλάττεσθαι ἐντεῦθεν ἀπὸ τοῦ παλαιοῦ ἔθους. τοῦτον δὲ οἱ μὲν Κλεώνυμον. οἱ δὲ Ὑπέρβολον. οἱ δὲ φασὶν Εὔβολον εἶναι. ὡς ἐν θυμέλῃ δὲ τὸ ἀνέβαινε.

## ΔΡΑΜΑΤΟΣ ΠΡΩΤΟΥ B

### Σκηνὴ δευτέρα.

Τρίμετροι ἰαμβικοί.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ, Ο ΚΑΙ ΑΓΟΡΑΚΡΙΤΟΣ, ΔΗΜΟΣΘΕΝΗΣ, ΝΙΚΙΑΣ.

BISETUS. Ἀγοράκριτος προσέρχεται, ὥσπερ οἱ δύο δοῦλοι τὸν περὶ αὐτοῦ δοθέντα χρησμὸν δηλοῦσι, καὶ C καλὴν συνεργείας ἐλπίδα παρέχουσιν.

Αλ. Τί ἐστι; τί με καλεῖτε; Δη. δεῦρ' ἐλθ', ἵνα πύθῃ,
Ὡς εὐτυχὴς εἶ, καὶ μεγάλως εὐδαιμονεῖς.
Νι. Ἴθι δὴ κάθελ' αὐτοῦ τοὐλεόν, καὶ τοῦ θεοῦ
Τὸν χρησμὸν ἀνάδιδαξον αὐτόν, ὡς ἔχει.
Ἐγὼ δ' ἰὼν προσκέψομαι τὸν Παφλαγόνα.
Δημοσθ. Ἄγε δὴ σὺ κατάθου πρῶτα τὰ σκεύη χαμαί, D
Ἔπειτα τὴν γῆν πρόσκυσον, καὶ τοὺς θεούς.
Αλ. Ἰδοὺ τί ἐστι; Δημοσθ. ὦ μακάρι', ὦ πλούσιε,
Ὦ νῦν μὲν οὐδείς, αὔριον δ' ὑπέρμεγας,
Ὦ τῶν Ἀθηνῶν ταγὲ τῶν εὐδαιμόνων.
Αλ. Τί μ' ὦ 'γαθ' οὐ πλύνειν ἐᾷς τὰς κοιλίας,
Πωλεῖν τε τοὺς ἀλλᾶντας, ἀλλὰ καταγελᾷς; E
Δη. Ὦ μῶρε, ποίας κοιλίας; δευρὶ βλέπε,
Τὰς στίχας ὁρᾷς γε τάσδε τῶν λαῶν; Αλλαν. ὁρῶ.
Δη. Τούτων ἁπάντων αὐτὸς ἀρχέλας ἔσῃ,
Καὶ τῆς ἀγορᾶς, καὶ τῶν λιμένων, καὶ τῆς πυκνός,
Βουλὴν πατήσεις, καὶ στρατηγοὺς κλαστάσεις,

## ACTVS I. SCENA II.

*Senarij Iambici.*

AGORACRITVS, QVI ET ALLANTOPOLA, DEMOSTHENES, NICIAS.

AG. *Quid est? quid me vocatis?* DE. *age huc, vt audias*
*Quàm vir beatus sis, & quàm prosperè habeas.*
NI. *Aufer tu mensam ei fartoriam: & Dei*
*Quale sit oraculum, & quid velit, ipsum edoce.*
*Ego ibo, & interuisam, quid agat Paphlago.*
DE. *Age, tu depone primùm hæc vasa humi: dein*
*Pronus adora Tellurem, & patrios Deos.*
AG. *Eccum: quid est?* DE. *ô te fœlicem, ô diuitem,*
*O qui, hodie nullus cùm sis, cras maximus eris.*
*O dux Atheniensium felicium.*
AG. *Cur non sinis me abluere hos ventriculos, & hæc*
*Farcimina vendere, quid me habes despectui?*
DE. *Quos ventriculos, tu fatue? huc ad me respice.*
*Viden' hos populi ordines?* AG. *video sanè.* DE. *omnium*
*Tu horum dux & princeps eris, fori, pnycis,*
*Et portuum: senatum calcabis: duces*
*Confringes: vincies, vinctos custodies:*

F

Σχόλια. Τί με καλεῖτε.] ὁ Ἀγοράκριτος τουτέστιν ὁ Ἀλλαντοπώλης ταῦτα λέγει. εἰσάγεται δὲ εἰς τὸ θέατρον, γελοῖα χάριν ἔντερα καὶ κοιλίας, καὶ μαγειρικὴν τράπεζαν φέρων. Τοὐλεόν.] τὸ τραπέζιον, ἐν ᾧ ἦσαν οἱ ἀλλᾶντες. ἐλεοὶ γὰρ λέγονται αἱ μαγειρικαὶ τράπεζαι. καὶ Ὅμηρος. ἐν ἐλεοῖσιν ἔθηκεν. Προσκέψομαι] περιεργάσομαί φησιν εἰσελθών, καὶ κατανοήσω τί ποιεῖ ὁ Παφλαγών. Τὰ σκεύη] τὸ ἀγγεῖον ἐν ᾧ ἔφερε τοὺς ἀλλᾶντας. Ἰδού.] πεποίηκεν ὃ προσέταξε. παρεπιγραφὴ δὲ καλεῖται τὰ τοιαῦτα πάντα. ἀμοιβαῖα δέ ἐστι ταῦτα τοῦ ἀλλαντοπώλου καὶ ἑνὸς τῶν οἰκετῶν. Ταγέ.] ἀρχηγέ. ἡγεμών. καὶ Ὅμηρος. παρὰ δ' οἱ ταγοὶ ἄμμι μενόντων. Τὰς κοιλίας.] Ὅμηρος διὰ παντὸς γαστέρας καλεῖ τὰς κοιλίας. Ἀλλὰ καταγελᾷς.] ἀλλὰ χλευάζεις με καὶ γέλωτα τίθεσαι. ὅτον δὲ ἀπιστοῦντα ποιεῖ, τοῦτον δείκνυσιν αὐτὸν τῆς πολιτείας ἀνάξιον, οὐ τὸν ἀλλαντοπώλην διαβάλλειν βουλόμενος, ἀλλ' ὁμοῦ καὶ τῶν Ἀθηναίων καταπαιζόμενος, οἳ τοιούτων ἀνέχονται πολιτῶν. καὶ διαβάλλων τὸν Κλέωνα, ὅτι αὐτός τε ἐκεῖνος ἦν εὐτελής, καὶ ὑπὸ τοιούτου τῆς πολιτείας ἐκβληθήσεται. Τὰς στίχας ὁρᾷς] τὸ πλῆθος. τὰς τάξεις. τὸ θέατρον δὲ αὐτῷ δεικνὺς ταῦτά φησιν. Ἀρχέλας] ἄρχων λαοῦ. ἡγεμών. ἔξαρχος. δημαγωγός. ἔπαιξε δὲ τῷ ὀνόματι. φησὶ γὰρ ἄρξεις τοῦ λαοῦ. Πυκνός.] τῆς ἐκκλησίας. μετάθεσίς ἐστι τῶν στοιχείων. εἰ γὰρ πνύξ ἐστιν, ἔδει πνυκός. νῦν δὲ πυκνός. Βουλὴν πατήσεις.] διαπαλαίσεις. καταπονήσεις. ἢ ἀντὶ τοῦ καταφρονήσεις τοῦ βουλευτηρίου. Κλαστάσεις.] οἱ μὲν κλονήσεις καὶ διασείσεις, οἱ δὲ κραυγάσεις. βέλτιον δὲ κλάσεις, ἀπὸ μεταφορᾶς τῶν τεμνομένων κλημάτων. ἄλλως. ἐκ ῥιζῶν ἀνατρέψεις. ἔνθεν κλαστήριον τὸ δρέπανον, ᾧ κλαδεύουσι καὶ ξύλα καὶ κλήματα ἐν ταῖς ἀμπέλοις.

G

Δήσεις.